TEZAUR LITURGIC

8 SEPTEMBRIE

MACRINA MONAHIA

# PARACLISUL NAŞTERII MAICII DOMNULUI

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# Παράκλησις

# ΓΕΝΕΘΛΙΟΥ ΤΗΣ ΘΕΟΤΟΚΟΥ

**Ποίημα Μακρίνης Μοναχῆς**

Ἱερᾶς Μονῆς Γενεθλίου τῆς Θεοτόκου Κωσταλεξίου Φθιώτιδος

Ὁ Ἱερεύς ἄρχεται τῆς Παρακλήσεως μέ τήν δοξολογικήν ἐκφώνησιν:

Εὐλογητός ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός: Ἀμήν.

Ἤ μή ὑπάρχοντος Ἱερέως, ἡμεῖς τό:

Δι' εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς, Ἀμήν.

Ψαλμός ρμβ' (142).

Καί εὐθύς ψάλλεται τετράκις ἐξ' ὑπαμοιβῆς τό Θεός Κύριος, μετά τῶν οἰκείων στίχων:

Θεός Κύριος καί ἐπέφανεν ἡμῖν,* εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ. α'. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ.*

Στίχ. β'. *Πάντα τά ἔθνη ἐκύκλωσάν με καί τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

Στίχ. γ'. *Παρά Κυρίου ἐγένετο αὕτη καί ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.*

Εἶτα τά παρόντα Τροπάρια.

Ἦχος δ’. Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ.

Ὡς τῶν ἀνθρώπων κραταιάν προστασίαν* καί ἱερᾶς ἡμῶν Μονῆς ἐποπτείαν,* χαριστηρίοις ἄσμασιν βοῶμεν Σοι, Ἁγνή·* χαίροις χαριτόβρυτε* δωρεῶν ἐπομβρία,* πάντας ἡ δροσίζουσα* δαψιλῶς, Παναγία,* τούς εὐλαβῶς καί πίστει ἀκραιφνεῖ,* τήν πάνσεπτόν Σου γεραίροντας Γέννησιν.

Δόξα. Τό αὐτό. Ἤ τό Ἀπολυτίκιον τῆς Γεννήσεως.

Ἦχος ὁ αὐτός, Αὐτόμελον.

Ἡ Γέννησίς Σου, Θεοτόκε,* χαράν ἐμήνυσε πάσῃ τῇ οἰκουμένῃ·* ἐκ Σοῦ γάρ ἀνέτειλεν ὁ Ἥλιος τῆς δικαιοσύνης,* Χριστός ὁ Θεός ἡμῶν·* καί λύσας τήν κατάραν, ἔδωκε τήν εὐλογίαν* καί καταργήσας τόν θάνατον,* ἐδωρήσατο ἡμῖν,* ζωήν τήν αἰώνιον.

Καί νῦν. Ὅμοιον.

Οὐ σιωπήσωμεν ποτέ, Θεοτόκε,* τάς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι·* εἰ μή γάρ Σύ προΐστασο πρεσβεύουσα,* τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων;* τίς δέ διεφύλαξεν ἕως νῦν ἐλευθέρους;* οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ Σοῦ,* Σούς γάρ δούλους σώζεις ἀεί* ἐκ παντοίων δεινῶν.

Ψαλμός ν’ (50).

Εἶτα ψάλλομεν ἐξ ὑπαμοιβῆς, πραείᾳ τῇ φωνῇ καί ἐν πάσῃ εὐλαβείᾳ, τόν παρόντα Κανόνα, οὗ ἡ ἀκροστιχίς κατ’ ἀλφάβητον, πλήν τῶν Θεοτοκίων.

Ὠδή α'. Ἦχος πλ. δ'. Ὁ Εἱρμός. Ὑγράν διοδεύσας.

Ἀντάξιον ὕμνον τῶν γηγενῶν,* οὐδείς ἐξισχύει* Σοί προσφέρειν ὡς ἀληθῶς·* ἡμεῖς δέ εἰς τήν φιλανθρωπίαν* τήν Σήν θαρροῦντες, τήν δέησιν ψάλλομεν.

Βυθοῦ με ἐξάγαγε τῶν παθῶν,* δι' ὧν ἐμακρύνθην* ἐκ νεότητος τοῦ Θεοῦ,* δεινῷ πολεμήτορι ψυχῆς μου,* προσκολληθείς ἀσυνέτως ἡ δείλαιος.

Δόξα.

Γεννήσει Σου, Ἄχραντε, τῇ σεπτῇ,* βροτῶν ἐνεργεῖται* σωτηρίας ἡ ἀπαρχή,* διό τάς οἰκούσας τῇ Μονῇ Σου,* ἐν βίβλῳ ζώντων γραφῆναι εὐδόκησον.

Καί νῦν.

Ἐκ στείρας νηδύος θεοπρεπῶς,* σήμερον γεννᾶται* ἡ τεκοῦσα τόν Πλαστουργόν,* πληροῦσα τά πάντα εὐφροσύνης,* τά τε ἐπίγεια καί τά οὐράνια.

Ὠδή γ'. Ὁ Εἱρμός. Οὐρανίας ἁψῖδος.

Δυναστείᾳ Σου, Μῆτερ,* τῇ θεϊκῇ τείχισον,* ταύτην Σου τήν ποίμνην, Παρθένε,* Σέ θησαυρίζουσαν* φρουρόν καί πρόμαχον,* τῶν τοῦ ἐχθροῦ ῥυομένην* δεινῶν ἐπιθέσεων,* Θεοχαρίτωτε.

Ἐν εἰρήνῃ τόν νοῦν μου* διαπαντός φύλαττε,* πάντα λογισμόν ψυχοφθόρον* μακράν διώκουσα·* Σύ γάρ ὡς τέξασα* τόν Ἀρχηγόν τῆς εἰρήνης,* παρρησίαν κέκτησαι* μεγίστην, Ἄχραντε.

Δόξα.

Ζοφερόν διαλύει,* πολυειδῶν θλίψεων,* οἷά περ ἠώς λαμπροτάτη* ἐξανατέλλουσα,* ἡ Σή πανήγυρις* τοῦ Γενεθλίου, Παρθένε,* ἥνπερ ἑορτάζοντες,* Σέ μακαρίζομεν.

Καί νῦν.

Ἐκ τῆς ῥίζης προῆλθεν* τοῦ Ἰεσσαί βλάστημα* ἅγιον, ἡ ἄμωμος Μήτηρ* τοῦ Παντοκράτορος,* ἡ διανοίξασα* τοῦ Παραδείσου τάς πύλας,* κεκλεισμένας πρότερον* διά τόν ἄνθρωπον.

Διάσωζε* τούς εὐλαβείᾳ καί πόθῳ ἀνευφημοῦντας* ἑορτήν τῆς Σῆς Γεννήσεως τήν πάντιμον,* ἀπὸ κινδύνων* καί πάσης ἄλλης ἀνάγκης.

Ἐπίβλεψον* ἐν εὐμενείᾳ, Πανύμνητε Θεοτόκε,* ἐπί τήν ἐμήν χαλεπήν τοῦ σώματος κάκωσιν* καί ἴασαι* τῆς ψυχῆς μου τό ἄλγος.

Κάθισμα. Ἦχος β’. Πρεσβεία θερμή.

Μονήν μας ἱεράν,* πιστῶς ἀνακειμένην Σοί,* Παρθένε Ἁγνή,* τῇ μητρικῇ προνοίᾳ Σου,* σκευωρίας ἀνθρώπων ἀσινῆ διαφύλαττε, Ἄχραντε, * ὅπως ἀεί χρεωστικῶς* τάς εὐεργεσίας Σου δοξάζωμεν.

Ὠδή δ’. Ὁ Εἱρμός. Εἰσακήκοα Κύριε.

Ἡ ψυχή μου ῥερύπωται,* ὅλη ἁμαρτήμασιν, Παναμώμητε,* ἀλλά Σύ εὐχαῖς Σου ποίησον,* ταύτην ἀποπλῦναι με τοῖς δάκρυσιν.

Θείῳ φόβῳ ὀχύρωσον,* ἐκ τῆς ῥαθυμίας με πολεμούμενον,* ὅπως τρίβον ἀγαλλόμενος* τήν στενήν βαδίζω τῆς ἀσκήσεως.

Δόξα.

Ἰατρείας τούς πάσχοντας,* θείαις Σου πρεσβείαις Σύ καταξίωσον,* τούς προστρέχοντας τῇ Μάνδρᾳ Σου,* πίστει προσκυνῆσαί Σου τήν Γέννησιν.

Καί νῦν.

Ἡ Θεόνυμφος τίκτεται* ἐξ Ἰωακείμ καί Ἄννης τήν σήμερον, * χαρμοσύνην τήν οὐράνιον,* πάσῃ οἰκουμένῃ προμηνύουσα.

Ὠδή ε'. Ὁ Εἱρμός. Φώτισον ἡμᾶς.

Κόσμου τά τερπνά* νουνεχῶς τούς καταλείψαντας* καί Χριστῷ ἀκολουθήσαντας,* τοῦ κοσμικοῦ ξένους ἀνάδειξον φρονήματος.

Λύτρωσαι, Ἁγνή,* νοσημάτων καί κακώσεων* τούς ἀνενδότως καταφεύγοντας,* εἰς τήν τιμίαν Σου Μονήν,* ἥνπερ ἐδόξασας.

Δόξα.

Μέμνησο ψυχή* τό «*ὁ θέλων εἶναι πρώτιστος,* πρέπον γενέσθαι ὡς ὁ ἔσχατος*»* καί ταῖς πρεσβείαις* τῆς Παρθένου ταπεινώθητι.

Καί νῦν.

Πρόξενος ζωῆς* αἰωνίου Σύ γεγένησαι,* τοῖς ἀπειθήσασι τό πρότερον,* τῇ Σῇ Γεννήσει* Θεοτόκε Ἀειπάρθενε.

Ὠδή στ΄. Ὁ Εἱρμός. Ἱλάσθητι μοι, Σωτήρ.

Νοσσία τά ἑαυτῆς,* οἷά περ ὄρνις, Πανάμωμε,* σκεπάζει ἐπιμελῶς,* οὕτω καί τήν ποίμνην Σου* τήρησον ἀλώβητον,* τῶν ἐπερχομένων* πειρασμῶν τε καί θλίψεων.

Ξίφος εἰς χεῖρας πιστῶν* ὑπάρχει ἡ ἀδιάλειπτος* τοῦ Ἰησοῦ ἡ εὐχή,* δαιμόνων τάς φάλαγγας* κατακόπτουσα, Δέσποινα,* ἥνπερ δίδαξόν με,* μητρικῇ Σου οἰκειότητι.

Δόξα.

Ὁδήγησον ἀσφαλῶς,* ὡς εἰς λιμένα γαλήνιον,* τόν κλῆρον Σου παντελῶς* εἰς Σέ ἀτενίζοντα,* εἰς το θεῖον θέλημα,* Ἄχραντε Παρθένε,* τοῦ Κυρίου τό σωτήριον.

Καί νῦν.

Συνέστιοι θεϊκῶν,* οἱ γηγενεῖς τῶν ἐλλάμψεων,* ἐσκοτισμένοι τό πρίν,* Θεῷ ἀπειθήσαντες,* γεγόνασι, Δέσποινα,* φωτί ἀνεσπέρῳ* τοῦ ἁγίου Γενεθλίου Σου.

Διάσωζε* τούς εὐλαβείᾳ καί πόθῳ ἀνευφημοῦντας* ἑορτήν τῆς Σῆς Γεννήσεως τήν πάντιμον,* ἀπὸ κινδύνων* καί πάσης ἄλλης ἀνάγκης.

Ἄχραντε,* ἡ διά λόγου τόν Λόγον ἀνερμηνεύτως,* ἐπ᾿ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα,* δυσώπησον,* ὡς ἔχουσα μητρικήν παρρησίαν.

Κοντάκιον. Ἦχος β'. Πρεσβεία θερμή.

Ἐν πίστει θερμῇ* καί πόθῳ, Κόρη, ζέοντι,* τήν Σήν ἑορτήν,* φωσφόρον και πανίερον,* ἐκτελοῦντες σήμερον,* τῶν ἁμαρτημάτων τήν συγχώρησιν* ἐπιτυχεῖν δεόμεθα, Ἁγνή,* τῇ πανευπροσδέκτῳ μεσιτείᾳ Σου.

Καί εὐθύς τό Προκείμενον. Ἦχος δ'.

Μνησθήσομαι τοῦ ὀνοματός Σου, ἐν πάσῃ γενεᾷ καί γενεᾷ. (Δίς).

Στίχ. *Ἄκουσον, Θύγατερ, καί ἴδε καί κλῖνον τό οὖς Σου καί ἐπιλάθου τοῦ λαοῦ Σου καί τοῦ οἴκου τοῦ πατρός Σου καί ἐπιθυ-μήσει ὁ Βασιλεύς τοῦ κάλλους Σου.*

Μνησθήσομαι τοῦ ὀνόματός Σου, ἐν πάσῃ γενεᾷ καί γενεᾷ.

Ἐκ τοῦ κατά Λουκᾶν ἁγίου Εὐαγγελίου

Ἐν ταῖς ἡμέραις ἐκείναις, ἀναστᾶσα Μαριάμ, ἐπορεύθη εἰς τήν Ὀρεινήν μετά σπουδῆς, εἰς πόλιν Ἰοῦδα. Καί εἰσῆλθεν εἰς τόν οἶκον Ζαχαρίου καί ἠσπάσατο τήν Ἐλισάβετ. Καί ἐγένετο, ὡς ἤκουσεν Ἐλισάβετ τόν ἀσπασμόν τῆς Μαρίας, ἐσκίρτησε τό βρέφος ἐν τῇ κοιλίᾳ αὐτῆς. Καί ἐπλήσθη Πνεύματος Ἁγίου ἡ Ἐλισάβετ καί ἀνεφώνησε φωνῇ μεγάλῃ καί εἶπεν. Εὐλογημένη σύ ἐν γυναιξί καί εὐλογημένος ὁ καρπός τῆς κοιλίας σου. Καί πόθεν μοι τοῦτο, ἵνα ἔλθῃ ἡ μήτηρ τοῦ

Κυρίου μου πρός με; Ἰδού γάρ, ὡς ἐγένετο ἡ φωνή τοῦ ἀσπασμοῦ σου εἰς τά ὦτά μου, ἐσκίρτησε τό βρέφος ἐν ἀγαλλιάσει ἐν τῇ κοιλίᾳ μου. Καί μακαρία ἡ πιστεύσασα, ὅτι ἔσται τελείωσις τοῖς λελαλημένοις αὐτῇ παρά Κυρίου. Καί εἶπε Μαριάμ. Μεγαλύνει ἡ ψυχή μου τόν Κύριον καί ἠγαλλίασε τό πνεῦμα μου ἐπί τῷ Θεῷ τῷ σωτῆρί μου, ὅτι ἐπέβλεψεν ἐπί τήν ταπείνωσιν τῆς δούλης Αὐτοῦ. Ἰδού γάρ ἀπό τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί· ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ Δυνατός καί ἅγιον τό ὄνομα Αὐτοῦ. Ἔμεινε δέ Μαριάμ σύν αὐτῇ ὡσεί μῆνας τρεῖς καί ὑπέστρεψεν εἰς τόν οἶκον αὐτῆς.

Δόξα. Ἦχος β’.

Ταῖς τῆς Παναχράντου πρεσβείαις, Ἐλεῆμον,* ἐξάλειψον τά πλήθη* τῶν ἐμῶν ἐγκλημάτων.

Καί νῦν.

Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον,* ἐξάλειψον τά πλήθη* τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. *Ἐλέησόν με ὁ Θεός* κατά τό μέγα ἔλεός Σου* καί κατά τό πλῆθος τῶν οἰκτιρμῶν Σου,* ἐξάλειψον τό ἀνόμημά μου.*

Ἦχος πλ. β’. Ὅλην ἀποθέμενοι.

Παρθένε Πανάμωμε,* Ἰωακείμ καί τῆς Ἄννης,* φυτόν οὐρανόσδοτον* σήμερον ἐβλάστησας, φύσιν βρότειον* Θεῷ ὡς πρότερον* ὅπως οἰκειώσῃς* τόν Σωτῆρα παρθενεύουσα,* Σύ γάρ ἐκύησας* τόν

καταπατήσαντα θάνατον·* καί νῦν τούς ἑορτάζοντας* θείαν Σου τήν Γέννησιν φύλαττε,* τοῦ ὠρυομένου,* ὡς λέοντος ἡμᾶς καταπιεῖν* θέλοντος, Μῆτερ, τούς δούλους Σου,* τους Σε μεγαλύνοντας.

Ὠδή ζ'. Ὁ Εἱρμός. Οἱ ἐκ τῆς Ἰουδαίας.

Πειρασμῶν ἐν τῷ μέσῳ* εὑρισκόμενος, Μῆτερ, καθικετεύω Σε,* ἱκάνωσον Σόν δοῦλον* γενναίως ὑπομένειν,* μελωδοῦντα Κυρίῳ μου·* ὁ τῶν Πατέρων ἡμῶν* Θεός, εὐλογητός εἶ.

Ῥιζουχίας ἁγίας,* τό ἐξ ἐπαγγελίας* ἄνθος ἀμάραντον,* τάς θείας ὑποσχέσεις* ἅσπερ εὐηγγελίσω,* τοῖς τιμῶσι Σε πλήρωσον,* ὅπως ὑμνῶμεν ἀεί* σεπτά Σου μεγαλεῖα.

Δόξα.

Σῶζε ἀχαριστίας,* γογγυσμοῦ, φιλαυτίας* καί κατακρίσεως,* νομίμως τούς ἀθλοῦντας,* ἐν ταύτῃ τῇ Μονῇ Σου,* Παναγία Θεόνυμφε,* ὅπως ὑμνῶμεν ἀεί* σεπτά Σου μεγαλεῖα.

Καί νῦν.

Τῶν ἀνθρώπων τά πλήθη,* τῇ Γεννήσει Σου ὕμνοις πανηγυρίζουσι,* φθορᾶς τῆς τοῦ θανάτου* λυτρούμενα, Παρθένε,* καί Κυρίῳ κραυγάζουσιν·* ὁ τῶν Πατέρων ἡμῶν* Θεός, εὐλογητός εἶ.

Ὠδὴ η’. Ὁ Εἱρμός. Τόν Βασιλέα τῶν οὐρανῶν.

Τήρει Σούς δούλους* τῷ τῆς ἀγάπης συνδέσμῳ,* ὁμοφρόνους καί ἐκ τῶν πολυτρόπων* σκέπε σκανδάλων, Παρθένε Θεοτόκε.

Ὑποταγῆναι* ἕως θανάτου προθύμως,* ὡσπερεί ὁ Υἱός Σου, Μαρία, ἀπέργασαι Σόν δοῦλον,* βουλήσει τῇ ἐνθέῳ.

Δόξα.

Φιλαδελφίας* τῷ θησαυρῷ πλουτισόν με,* ἡ Ἀγάπην τέξασα τῷ κόσμῳ, ὥστε ἀδελφοῦ μου* αἱρεῖσθαι τό συμφέρον.

Καί νῦν.

Τόν Βασιλέα* τῶν Οὐρανῶν Ὅν ὑμνοῦσι,* Ἀσωμάτων πᾶσαι στρατηγίαι,* ἔτεκεν ἀσπόρως* ἡ σήμερον τεχθεῖσα.

Ὠδὴ θ’. Ὁ Εἱρμός. Κυρίως Θεοτόκον.

Χριστοῦ τῇ ἀγαπήσει* δός μοι καταφλεχθῆναι,* τῷ θεοφρόνως τήν θείαν πανήγυριν* τοῦ Γενεθλίου, Παρθένε, ἐπιτελοῦντι Σου.

Ψυχῆς μου, Θεοτόκε,* ἀρίστη ἡγεσία,* θεουργικῶν ἀναβῆναι τήν κλίμακα* τῶν ἀρετῶν, ἴθυνόν με ταῖς ἱκεσίαις Σου.

Δόξα.

Ὡς Μήτηρ τοῦ Σωτῆρος* καί πάντων Ὀρθοδόξων,* τούς τήν ἁγίαν Σου Γέννησιν σήμερον* πανευσεβῶς ἑορτάζοντας,* σῶσον Δέσποινα.

Καί νῦν.

Ἐτέχθης παρ’ ἐλπίδα* ἐκ τῆς στείρας Ἄννης,* τόν Λυτρωτήν τοῦ παντός ἡ κυήσασα,* ὑπέρ ἡμῶν Ὅν ἱκέτευε, Δέσποινα.

Ἄξιον ἐστιν ὡς ἀληθῶς,* μακαρίζειν Σε τήν Θεοτόκον,* τήν ἀειμακάριστον καί παναμώμητον* καί μητέρα τοῦ Θεοῦ ἡμῶν.* Τήν τιμιωτέραν τῶν Χερουβείμ* καί ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ,* τήν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν,* τήν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Χαίροις ἀσθενούντων ἡ ἰατρός* καί τῶν ἐν ἀνάγκαις* ἀντιλήπτωρ καί ἀρωγός·* χαίροις θλιβομένων, Σεμνή, παραμυθία* καί πάντων ἱκετῶν Σου τό καταφύγιον.

Λύτρωσαι, Παρθένε, ἐκ πειρασμῶν,* θλίψεων, κινδύνων,* δυσιάτων ἀσθενειῶν,* τούς μετ’ εὐλαβείας τιμῶντας ἐτησίως,* τήν πάμφωτον ἡμέραν τοῦ Γενεθλίου Σου.

Λώβης τῶν αἱρέσεων ἀβλαβεῖς,* ἡμᾶς, Θεοτόκε,* διαφύλαττε ἐς ἀεί* καί τῇ Ἐκκλησίᾳ* γαλήνην δίδου, Μῆτερ,* πολυμερῶν σχισμάτων* παύουσα τάραχον.

Ἴδε τούς νοσοῦντας γονυκλινῶς* Σέ ἐκλιπαροῦντας* ἐν τῇ πανσέπτῳ αὐτῇ Μονῇ* καί δώρησαι, Παρθένε,* αὐτοῖς τήν θεραπείαν,* ἡ σήμερον τεχθεῖσα* πρός πάντων λύτρωσιν.

Λύπης μου διάλυσον αὐθωρόν* νέφος, Παναγία,* ὡς ἀράχνειον τόν ἰστόν,* θείας εὐφροσύνης* ψυχήν μου ἐμπιπλῶσα,* ὅπως ἀεί δοξάζω* τά μεγαλεῖα Σου.

Φθόνῳ τήν Σήν Μάνδραν μανιωδῶς* οὐ παύεται, Μῆτερ,* ὁ ἀντίδικος πολεμῶν·* ἀλλά Σύ Παρθένε,* ὡς ἔφορος καί ῥύστης* ἡμῶν, αὐτοῦ τό θράσος,* εἰς τέλος σύντριψον.

Ἐν ἀκτημοσύνῃ τήν βιοτήν,* Παρθένε, σφραγίσαι* καί ἐν πλήρῃ ἀποταγῇ* πιστούς Σου ἱκέτας τούς ἀγωνιζομένους* ἐν ταύτῃ τῇ Μονῇ Σου,* Ἁγνή εὐόδωσον.

Χαίροις τῶν Ἀγγέλων ἡ χαρμονή,* ἀνθρώπων βεβαία* σωτηρία καί ἀσφαλής·* χαίροις Παραδείσου* ἡ πυλωρός καί Ἅδου* κατάργησις τελεία,* Παρηγορήτισσα.

Σκέπε τούς προστρέχοντας τῇ σεπτῇ* Μονῇ Σου, Παρθένε,* ἐκπληροῦσα αὐτῶν εὐχάς·* Σοί γάρ ὡς μητέρα* προσφεύγουσι ἐκ πόθου* καί Σέ ὁμολογοῦσι* Θεογεννήτρια.

Τῆς παρηγορίας θείαν πηγήν,* τῆς παραμυθίας* μή κενούμενον ποταμόν* καί τῆς οὐρανίου ἡμῖν ἐπευλογίας,* Παρθένε ὁμολογοῦμεν* σεπτή Γερόντισσα.

Κατάπαυσον τόν τάραχον τῆς ψυχῆς* τῶν δούλων Σου, Κόρη,* θεοπόθητε Μαριάμ,* καί δώρησαι εἰρήνην καί θείαν εὐλογίαν,* πᾶσι τοῖς μεγαλύνουσι* Σοῦ τό ὄνομα.

Τό Μεγαλυνάριον τοῦ Ἁγίου τοῦ Ναοῦ ἤ τοῦ Ἁγίου τῆς ἡμέρας. Καί κλείομεν μετά τοῦ·

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί,* Πρόδρομε Κυρίου,* Ἀποστόλων ἡ δωδεκάς,* οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου,* ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

Τό Τρισάγιον καί τά Τροπάρια ταῦτα.

Ἦχος πλ. β΄.

Ἐλέησον ἡμᾶς,* Κύριε, ἐλέησον ἡμᾶς,* πάσης γάρ ἀπολογίας ἀποροῦντες,* ταύτην Σοι τήν ἱκεσίαν,* ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν,* ἐλέησον ἡμᾶς.

Δόξα.

Κύριε ἐλέησον ἡμᾶς,* ἐπί Σοί γάρ πεποίθαμεν.* Μή ὀργισθῇς ἡμῖν σφόδρα,* μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν.* Ἀλλ᾽ ἐπίβλεψον καί νῦν ὡς εὔσπλαχνος* καί λύτρωσαι ἡμᾶς* ἐκ τῶν ἐχθρῶν ἡμῶν.* Σύ γάρ εἶ Θεός ἡμῶν* καί ἡμεῖς λαός Σου,* πάντες ἔργα χειρῶν Σου* καί τό ὄνομά Σου ἐπικεκλήμεθα.

Καί νῦν.

Τῆς εὐσπλαχνίας τήν πύλην ἄνοιξον ἡμῖν,* εὐλογημένη Θεοτόκε,* ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσωμεν,* ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων·* Σύ γάρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Ὑπό τοῦ Ἱερέως Ἀπόλυσις. Καί τῶν Χριστιανῶν ἀσπαζομένων τήν Εἰκόνα τῆς Ὑπεραγίας Θεοτόκου καί χριομένων δι' ἁγίου ἐλαίου, ψάλλονται τά παρόντα Τροπάρια:

Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.

Δεῦτε* τήν Μητέρα τοῦ Θεοῦ,* ἐκ γαστρός ἀκάρπου τεχθεῖσαν,* πρός σωτηρίαν ἡμῶν,* πάντες προσκυνήσωμεν συνευφραινόμενοι,* οἰκειότητι φύσεως* ἰδού κληρουχίαν* Αὐτῆς τήν ἀπόλεκτον,* περιφρουρεῖ ἀκλινῶς,* πάσης προσβολῆς ἐναντίας,* πάσης ψυχικῆς ἀσθενείας* καί θανατηφόρου ἐπιθέσεως.

Δέσποινα πρόσδεξαι* τάς δεήσεις τῶν δούλων Σου* καί λύτρωσαι ἡμᾶς* ἀπό πάσης ἀνάγκης καί θλίψεως.

Τήν πᾶσαν ἐλπίδα μου* εἰς Σέ ἀνατίθημι,* Μῆτερ τοῦ Θεοῦ,* φύλαξόν με ὑπό τήν σκέπην Σου.

